Νι. Κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν, A
Θεῶν ἰόντε προσπεσεῖν ποι πρὸς βρέτας.
Δημοσθ. Ποῖον βρετέτας; ἐτεὸν ἡγεῖ γὰρ θεούς;
Νικ. Ἔγωγε. Δημοσθ. ποίῳ χρώμενος τεκμηρίῳ;
Νικ. Οτιὴ θεοῖσιν ἐχθρός εἰμ' οὐκ εἰκότως.
Δημοσθ. Εὖ προσβιβάζεις μ'. Νικ. ἀλλ' ἑτέρα ποι σκεπτέον. B
Δη. Βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσι φράσω;
Νι. Οὐ χεῖρον. ἓν δ' αὐτοὺς παραιτησώμεθα,
Ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
Ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.

NI. Optimum igitur facto eſt nobis præſentibus,
Apud Deorum ſimulacra alibi procumbere.
DE. *Quænam ſimulacra? an eſſe tu ſtatuis Deos?*
NI. Immò. DE. ſed quonam argumento hoc edoctus es?
NI. Quia enim Dijs inuiſus ſum vltrà, quàm decet.
DE. Facilè hoc mihi perſuades. NI. Igitur alia via
Ineunda erit. DE. vin' tu, vt rem ſpectatoribus
Exponam? NI. non abs re fuerit. ſed vnum eos
Rogabimus: vt nobis manifeſtum frontibus
Faxint, an dicta & facta læti comprobent.

Σχόλια. Πρὸς βρέτας.] ἄγαλμα θεῶν. προσπεσεῖν δὲ, ἱκέτας καθίσαι. ἢ γὰρ φυγεῖν πρὸς βρέτας, πρὸς ἱερὸν, πρὸς τέμενος. ἢ πρὸς ἕδος. ἢ πρὸς ἄγαλμα θεῶν. βρέτας δὲ, εἴρηται ἀπὸ τοῦ βροτῷ ἐοικέναι αὐτό. Βρετέτας.] ἐν παρολκῇ, παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ, προσέπαιξε τῇ παρονομασίᾳ τοῦ βρέτας. ἀλλὰ καί φησιν ὅτι εἰ μὴ ἦσαν θεοὶ, οὐκ ἂν ἤμην θεοῖς ἐχθρός. Ἐτεὸν ἡγεῖ γὰρ θεούς.] ἀληθῶς οὕτω πεπίστευκας καὶ ὑπολαμβάνεις εἶναι θεούς; τεκμηρίῳ δὲ παραδείγματι. μαρτυρίῳ. προσβιβάζεις δὲ πείθεις, παραινεῖς ἢ στοχάζῃ. Ἀλλ' ἑτέρα ποι.] ἀλλ' ἑτέρῳ τρόπῳ δεῖ σκέψασθαι. γράφεται δὲ καὶ πῇ. C ἔστι δὲ περιττόν. Παραιτησώμεθα.] περιττὴ ἡ παρά. ἔστι γὰρ αἰτησώμεθα. παρακαλέσωμεν. πλεονάζουσι γὰρ καὶ ἐλλείπουσι ταῖς προθέσεσι Ἀττικοί. Ἐπίδηλον ἡμῖν.] δεικνύειν φησὶν ἡμῖν διὰ τῶν προσώπων εἰ χαίρουσι τοῖς λεγομένοις. ἐκ γὰρ τοῦ προσώπου δηλοῦται ἡ τῆς ψυχῆς διάθεσις. Ἢν τοῖς ἔπεσι χαίρωσιν,] ἔπεσι τοῖς ποιήμασιν, ἢ τοῖς λεγομένοις. ἢ τοῖς ἰάμβοις. πᾶν γὰρ ἔπος μέτρον καλοῦσι. πράγμασι δὲ τοῖς ποιήμασι τοῖς λεγομένοις.

D

BISETVS. Δημοσθένης πρὸς τοὺς θεατὰς στραφεὶς τὴν φύσιν τοὺς τρόπους, τὰ ἤθη, τὴν τέχνην, καὶ τὰς βουλὰς Κλέωνος, ὃν Παφλαγόνα καλεῖ, διὰ πλειόνων ἀκριβῶς διηγεῖται, καὶ μονονοὺ πρὸ ὀμμάτων τίθησιν. εἶτα οἶνον πρὸς αὐτὸν φέρεσθαι κελεύει, ἵνα τοῦτον δὲ πιὼν, χρηστόν τι βουλεύσηται.

Δη. ΛΕγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
Ἄγροικος ὀργὴν. κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος Πυκνίτης. δύσκολον γερόντιον,
Ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
Ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα, E
Πανουργότατον, καὶ διαβολώτατόν τινα.

DE. DIcam igitur. Eſt herus nobis ira ferox,
Eſor fabarum, bilioſus, vir tribu
Pyncenſis: moroſum difficiléque ſenium,
Surdaſtrum: qui ſuperiori nouilunio
Emit Paphlagona conſeruum coriarium:
Hominem vaferrimum, delatorem improbum,

Σχόλια. Νῷν γὰρ ἐστι δεσπότης.] ὥσπερ τινα οἰκίαν κατασκευάζει τὴν πόλιν. δεσπότην δέ φησι τὸν δῆμον, οἰκέτας δὲ τοὺς προχειριζομένους ὑπ' αὐτοῦ ὑπηρετεῖν αὐτῷ ἐν τῇ τῶν κοινῶν ἐπιμελείᾳ. ὑπηρέται γάρ τινες εἶναι δοκοῦσι τοῦ δήμου οἱ ἄρχοντες οἱ τῶν κοινῶν προϊστάμενοι. Ἄγροικος ὀργήν.] δύναται ἡ ὀργὴ νῦν ἑκάτερον δηλοῦν. καὶ κυρίως κεῖσθαι καὶ ἐπὶ τοῦ τρόπου. ἄγριος καὶ σκληρὸς, καὶ ἀνήμερος καὶ τραχύς. ἢ ἀφελής. ἀκράχολος δὲ, ἤγουν εἰς ὀργὴν πρόχειρος. F

BISETVS. Ἀκράχολος] ὁ ἀκράχολος ὑπὸ Θεοκρίτου εἰδ. α. καλῶς χαρακτηρίζεται,

Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.

Σχόλια. Κυαμοτρὼξ.] δικαστικός. κυάμους ἐσθίων. κυάμοις γὰρ ἐχρῶντο οἱ δικασταὶ, διὰ τὸ μὴ καθεύδειν. ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ σ, κυαμοτρὼς, ὁ κυάμοις δικάζων. ὁ τιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. G τρεφόμενος ἀπὸ τῶν κυάμων. ἐπεὶ ἀντὶ ψήφων, κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλέον, οὕτως ὠνόμασε τὸν δῆμον τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον. Πυκνίτης.] τόπος Ἀθήνησιν ἔνθα ἔστιν ὅτε ἐκκλησίαζον οἱ Ἀθηναῖοι. πνὺξ γὰρ τόπος ἐν Ἀθήναις, ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ ὥσπερ πολίτην τῆς πνυκὸς εἶπε. πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτὰς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις. δύσκολον δὲ δυστράπελον. Δύσκολον γερόντιον.] δυστράπελον. πρεσβύτερον. αἰνίττεται δὲ διὰ τούτου ὁ ποιητὴς τὴν ἱστορίαν. ὅτι πρῶτοί τε καὶ αὐτόχθονες οἱ Ἀθηναῖοι. ὑπόκωφον δὲ ὅτι οὐ πᾶσιν ἐπείθετο, ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν τῶν λεγομένων. Τῇ προτέρᾳ νουμηνίᾳ.] τῇ παρελθούσῃ. τουτέστι νεωστί. ἵνα δείξῃ τὸν Κλέωνα οὐ πάλαι τῆς πολιτείας τετυχηκότα. ἐν δὲ ταῖς νουμηνίαις οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο. Βυρσοδέψην Παφλαγόνα. ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. βυρσέα. συμβαίνει δὲ τούτους ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐᾶν ἡμέραις αὐτὰ εἰς τὸ φάρμακον ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ τε ὕδατος καὶ τῶν δερμάτων μολυνομένους ἄχαρι ὀδωδέναι. ἄλλως τε καὶ τὴν εὐτέλειαν δείκνυσι τοῦ Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος ἐπρώτευσε τῶν Ἀθηναίων. ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν.

BISETVS. Θουκυδίδης ἐν τῇ γ. τὸν τοῦ Κλέωνος πατέρα Κλεαίνετον καλεῖ.